# XXII.

## *Πρᾶξις σὺν θεῷ κβʹ.*

p. 476a. *καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω.*

δύο προβλήματα προεβάλετο ὁ Σωκράτης, ἓν μὲν τὸ λέγον, 1
ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν, ἕτερον δὲ τὸ λέγον, ὅτι τῶν ἀδικούντων ὁ πάσχων καὶ παρέχων τιμωρίαν ἧττον ἀθλιώτερός ἐστι τοῦ ἀδικοῦντος μὲν μηδὲν δὲ ὑπομένοντος ἀλλ᾽ ἀεὶ ἀδικοῦντος· τούτων τοίνυν τὸ μὲν πρότερον δέδεικται, νῦν δὲ τὸ δεύτερον κατασκευάζεται, ὅτι ὁ ἀδικήσας καὶ διὰ τοῦτο δικαίως κολαζόμενος ἧττον ἄθλιός ἐστιν, ὠφελεῖται γάρ· λαμβάνει τοίνυν τὸ ποιοῦν καὶ πάσχον καὶ λέγει, ὅτι ὡς ποιεῖ τὸ ποιοῦν, οὕτως πάσχει τὸ πάσχον· εἰ σφοδρῶς καίοι τὸ κάον, σφοδρῶς καίεται τὸ καιόμενον, εἰ διὰ βάθους καίοι, διὰ βάθους καίεται· εἰ ἐπιπολῆς, κακεῖνο ἐπιπολῆς· ἐπὶ τοῦ ποιοῦντος τοίνυν πρότερον γυμνάζει τὸν λόγον, καὶ οὕτως ἐπὶ τὸ πάσχον μεταβαίνει, ἐπειδὴ αἱ ἀποδείξεις ἐκ τῶν αἰτίων λαμβάνονται καὶ οὐκ ἐκ τῶν αἰτιατῶν· λέγει τοίνυν, ὅτι ὁ δικαίως κολάζων καλῶς ποιεῖ· τοῦτο γὰρ καὶ σὺ ὁμολογεῖς, ὦ Πῶλε, ὅτι τὸ δίκαιον καλόν· ὁ δικαίως οὖν κολάζων καλῶς ποιεῖ· οὐκοῦν καὶ ὁ δικαίως κολαζόμενος καλῶς κολάζεται· τὸ δὲ καλὸν ἢ πρὸς ἡδονὴν βλέπει ἢ πρὸς ὠφέλειαν ἢ πρὸς τὸ συναμφότερον· ἀλλὰ μὴν ἡδὺ οὐκ ἔστι τῷ κολαζομένῳ τὸ κολάζεσθαι οὐδὲ μὴν τὸ συναμφότερον, ὅπου γε ὅλως οὐδὲ ἡδύ· λείπεται ἄρα ὠφέλιμον εἶναι· ὁ ἄρα δικαίως κολαζόμενος ὠφελεῖται· εἰ δὲ ὠφελεῖται, ἧττόν ἐστιν ἄθλιος, ἰάσεως γὰρ ἀξιοῦται· λοιπὸν ἔχει δεῖξαι, ὅτι ὠφελεῖται· οὐκ ὠφέλειαν χρημάτων, οὐκ ὠφέλειαν σώματος ἀλλὰ ψυχῆς ὠφέλειαν· δείξει τοίνυν πάλιν δι᾽ ἑτέρας θεωρίας, ὅτι ἡ μεγίστη ὠφέλεια περὶ ψυχὴν θεωρεῖται, ἐπειδὴ καὶ τὸ μέγιστον πάθος περὶ ψυχήν· δεῖ τοίνυν δεῖξαι, ὅτι ὁ δικαίως κολαζόμενος λέγεται κολάζεσθαι· ὁ γὰρ ἀδίκως οὐδὲ κολά-

---

3 τό supr. lin. add. **M** 5 post πάσχων ÷ quinquies in ras. **M**
19 καλῶς supr. lin. add. **M** 29 δεῖξαι] -ξαι supr. lin. add. **M**